**(964)** προέμενοι χρείας. ἀφίημι γὰρ Νομάδων καὶ Τρωγλοδυτῶν
ἀνεξευρέτους ἀριθμῷ μυριάδας, οἷ τροφὴν σάρκας ἄλλο
δ' οὐδὲν ἴσασιν· ἀλλ' ἡμῖν τοῖς ἡμέρως καὶ φιλανθρώ-
πως ζῆν δοκοῦσι ποῖον ἔργον ἀπολείπεται γῆς, ποῖον ἐν
θαλάττῃ, τίς ἐν ὄρεσι τέχνη, τίς κόσμος διαίτης, ἂν ὡς
προσήκει λογικοῖς καὶ ὁμοφύλοις πᾶσι τοῖς ζῴοις οὖσιν
B ἀβλαβῶς καὶ μετ' εὐλαβείας προσφέρεσθαι μάθωμεν,
ἔργον ἐστὶν εἰπεῖν. οὐδὲν οὖν φάρμακον οὐδ' ἴαμα τῆς ἢ
τὸν βίον ἀναιρούσης ἢ τὴν δικαιοσύνην ἀπορίας [οὐδὲν]
ἔχομεν, ἂν μὴ τὸν ἀρχαῖον ὅρον καὶ νόμον φυλάττωμεν,
ᾧ καθ' Ἡσίοδον (OD 277 sqq.) ὁ τὰς φύσεις διελὼν καὶ
θέμενος ἰδίᾳ τῶν γενῶν ἑκάτερον

> 'ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς
> ἔσθειν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶ μετ' αὐτοῖς,
> ἀνθρώποισι δ' ἔδωκε δίκην'

πρὸς ἀλλήλους. οἷς δ' οὐκ ἔστι τὸ δικαιοπραγεῖν πρὸς
ἡμᾶς, οὐδ' ἡμῖν πρὸς ἐκεῖνα γίγνεται τὸ ἀδικεῖν· ὡς οἵ
γε τοῦτον προέμενοι τὸν λόγον οὔτ' εὐρεῖαν ἄλλην οὔτε
C λιτὴν τῇ δικαιοσύνῃ παρεισελθεῖν ὁδὸν ἀπολελοίπασι.

7. ΑΥ. Ταῦτα μέν, ὦ φίλε, 'τἀπὸ καρδίας' τῶν ἀνδρῶν
ἐξείρηκας· οὐ μὴν δοτέον, ὥσπερ δυστοκούσαις γυναιξί,
περιάψασθαι τοῖς φιλοσόφοις ὠκυτόκιον, ἵνα ῥᾳδίως καὶ



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549779/30 UNIVERSITÄT LEIPZIG